ἀμφοῖν πρότερον, ἡ μὲν οὖν καὶ τὰ ἐπὶ μέρους ἅπαντα εἴδη τὸ κοινὸν τῆς φύσεως σώζουσι τέλος πᾶσιν οἰκειότατόν ἐστι τὸ γεννᾶν ὅμοιον ἑαυτῷ, ἢ δὲ ἕκαστον τῆς ἑαυτοῦ σωτηρίας ἐφίεται οὐκ ἐν δευτέρῳ λόγῳ τάττειν εἰκὸς τὸ σώζειν τι αὐτὸ ἑαυτό, ἀλλὰ τῷ λόγῳ δεῖ ταῦτα διακρίνειν, ἡ μὲν γὰρ φύσις ἐν τοῖς ἐπὶ μέρους οὖσα, ἡ μὲν καθόλου καὶ τὸ τέλος ἔχει καθολικώτερον, ἡ δὲ μερικὴ ἐν ἑκάστῳ τῶν ἀτόμων τέλος ἔχει τὸ συμφορώτερον ἑκάστου. Τούτων οὖν οὕτως ἐχόντων, φανερὸν ὅτι ἡ μὲν πρώτη ἀντέρεισις κώλυμα μόνον ἐστὶ τῆς τοῦ ποιοῦντος ἐνεργείας, ἡ δὲ δευτέρα ἐνέργειά ἐστιν ἀπὸ τοῦ ἐν τῷ πάσχοντι εἴδους προερχομένη ὅπως αὖ, εἰ δυνατόν ἐστιν ὑπερισχύσῃ τοῦ ποιοῦντος καὶ μεταβάλῃ αὐτὸ εἰς ἑαυτό, εἰ δὲ μή, κἂν γοῦν αὐτὸ ἑαυτὸ σώσῃ.

## ΚΕΦΑ'ΛΑΙΟΝ, ΙΑ'.

### Πότερον πᾶν τὸ ποιοῦν ἀντιπάσχει.

Δύσλυπτος μέν ἐστι καὶ δυσπαρακολούθητος ἡ θεωρία τοῦ προτεθέντος ζητήματος, ἀλλ' ἐπὶ πλέον τῇ τῶν νεωτέρων τερατολογίᾳ τεθόλωται. πειρασώμεθα τοίνυν ὡς ἐνὶ διὰ βραχέων τὴν ὑποκειμένην ταῖς τοῦ Φιλοσόφου λέξεσιν ἀλήθειαν ἐξανιχνεῦσαι. Πρῶτον μὲν οὖν τὰς ἀπορίας ἐκθώμεθα, δι' ἃς ἡ τοιαύτη γέγονεν ἐξ ἀρχῆς ἀμφισβήτησις, εἶτα τὰς κοινοτέρας ἐπαγαγόμενοι δόξας, μεθ' ἃς τὴν ἀλήθειαν ἐκδηλῶσαι πειρασώμεθα, καὶ τελευταῖον τοὺς ἀντιφερομένους ἐπιλύσωμεν λόγους, πρὸ πάντων δὲ τοὺς ἐν τῷ ζητήματι ὅρους εἰκός ἐστι διασαφῆσαι. ἐπειδὴ τοίνυν τὸ ποιοῦν πολλαχῶς λέγεται, εἴτε κατὰ τὴν πάσχοντος τελείωσιν, ἃ καὶ τελειωτικὰ τοῖς τοῦ Ἀριστοτέλους ἑρμηνευταῖς ὀνομάζεται, εἴτε ὡς τὰ μεταβλητικὰ καὶ φθαρτικά, τοιαῦτα δέ εἰσιν ὅσα κατὰ τὰς ἁπτὰς ἐνεργεῖ ποιότητας, περὶ τούτων ἡμῖν ὁ λόγος πρόκειται, οὐ γὰρ περὶ τῶν καταχρηστικῶς ποιούντων ὁ λόγος, οὐδὲ περὶ τῶν πόρρω, ἀλλὰ περὶ τῶν προσεχῶς. οὐδὲ περὶ τῶν κατὰ συμβεβηκός, ἀλλὰ περὶ τῶν καθ' αὑτό. Ἔτι δὲ ἰστέον ὅτι ἐνέργεια μέν ἐστιν ἡ τοῦ ποιοῦντος δύναμις καὶ κίνησις καθ' ὃ μεταβάλλει τὸ πάσχον εἰς ἑαυτό, πάθησις δὲ ἡ ἐν τῷ πάσχοντι κίνησις, ἀντιδρᾶν λέγεται τὸ πάσχον, καθ' ὃ τὴν οἰκείαν ἐνέργειαν τὴν ἀπὸ τοῦ εἴδους αὐτῷ προσοῦσαν εἰς τὸ ποιοῦν ἀντιπαρατάττει, ὥσπερ καὶ τὸ ποιοῦν ἀντιπάσχει, καθ' ὃ τὴν ὑπὸ τοῦ πάσχοντος ἐνέργειαν ὑποδέχεται. ζητεῖται τοίνυν πότερον τὸ ποιοῦν κατὰ τὰς ἀ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ ... ΙΩΑΝΝΙΝΑ 2006

τὰς ἐναντιότητας ἀντιπάσχει εἰκότως λέγεται; Δεῖ οὖν εἰδέναι πρῶτον ὅτι ἐν πολλοῖς ὁμοφώνως εἴρηται τὰ ποιοῦντα μὴ ἀντιπάσχειν. ἢ ὅτε τὸ
„ ποιοῦν οὐκ ἔστιν ἐν ὕλῃ τῇ αὐτῇ, διὸ λέγεται τῷ Φιλοσόφῳ. Ὅσα μὲν
„ οὖν μὴ ἐν ὕλῃ ἔχει τὴν μορφὴν, ταῦτα μὲν ἀπαθῆ τῶν ποιητικῶν,
„ ὅσα δὲ ἐν ὕλῃ παθητικά. προσθέμενος ὅτι ὕλην τὴν αὐτὴν προσεπινοεῖ, δι᾽ ἣν αἰτίαν τὰ αἰθέρια σώματα οὐκ ἀντιπάσχει δρῶντα εἰς τὰ ὑπὸ Σελήνην. ἢ ὅτε τοῦ ποιοῦντος οὐκ ἐφικνεῖται ἡ τοῦ πάσχοντος ἐνέργεια, ἢ ὥσπερ εἴρηται τοῖς νεωτέροις, ὅτε τὸ ποιοῦν ἐκτός ἐστι τῆς πάσχοντος σφαίρας. ἐπειδὴ γὰρ τὰ ποιοῦντα πεπερασμένα κατὰ τὴν δύναμιν ἐστὶ, καὶ τὴν οἰκείαν ἐνέργειαν προβάλλεται, ἐν διαστήματι πεπερασμένῳ, καίτοι κατὰ τοῦτο οὐκ ἐπίσης ἰσχυρὰν ἐφίησι τὴν ἐνέργειαν, ἀλλ᾽ εἰς τὸ ἄποθεν μᾶλλον ἀσθενέστερον, ἐνδέχεται τοιαύτην ἰσχὺν ἔχειν τὸ ποιοῦν, ὥστε δρᾷν μὲν αὐτὸ εἰς τὸ πόῤῥωθε κείμενον, μὴ ἀντιπάσχειν δὲ, μὴ καθικνουμένης ἐπὶ τοσοῦτον διάστημα τῆς τοῦ πάσχοντος ἐνεργείας. οὐ περὶ τούτων τοίνυν ὁ λόγος, ἀλλὰ περὶ τῶν πλησιαζόντων ποιητικῶν πότερον δηλαδὴ ἀντιπάσχει ποιοῦντα ὑπὸ τοῦ πλησιάζοντος παθητικοῦ; Ἔτι δὲ κοινῶς ὁμολογεῖται τὰ ποιοῦντα πάσχειν καθ᾽ ἑτέραν ἐναντιότητα. οἷον τὸ Ὕδωρ ὑγραίνειν θερμαινόμενον, καὶ τὸν Ἀέρα ξηραίνεσθαι θερμαίνοντα, ἀλλ᾽ ἠμφισβήτηται πότερον τὰ ποιοῦντα πάσχει καθ᾽ ἣν ἐναντιότητα ποιεῖ, οἷον τὸ Πῦρ ψύχεσθαι θερμαῖνον; τὴν τοιαύτην οὖν σκέψιν δυσχερῆ ποιεῖ πρῶτον μὲν ὅτι τὰ αἰθέρια σώματα τὴν αὐτὴν μὲν ἔχει ὕλην, οὐ μὴν πάσχει ὑπ᾽ ἀλλήλων. Δεύτερον ὅτι εἰ τὸ ποιοῦν ἀντιπάσχει τὸ αὐτὸ ταῖς ἐναντίαις κινήσεται κινήσεσι. κείσθω γὰρ τὸ ᾱ ποιοῦν κατὰ τὸ τεταρτημόριον αὐτοῦ πάσχον ὑπὸ τοῦ β̄, ὃ δυνατόν ἐστιν κειμένου τοῦ ποιοῦντος κατὰ τὸ τεταρτημόριον ἐντὸς τῆς τοῦ πάσχοντος σφαίρας, τηνικαῦτα τοίνυν φανερόν ἐστιν ὅτι τότε τεταρτημόριον οἷον τὸ γ ψύχεται μὲν ὑπὸ τοῦ β̄, θερμαίνεται δὲ ὑπὸ τῶν ἐν τῷ ποιοῦντι τριῶν ἐπιλοίπων μερῶν. ψυχρὸν γὰρ ὂν κατά τι τὸ γ̄ ἐξανάγκης ὑπὸ τῶν ἄκρως πείσεται θερμῶν, τὸ αὐτὸ οὖν ποιήσει καὶ πείσεται. οὐ μόνον δὲ τὸ ποιοῦν ἀλλὰ καὶ αὐτὸ τὸ μέσον ταῖς ἐναντίαις κινήσεται κινήσεσιν, τήν τε τοῦ ποιοῦντος θερμότητα ὑποδεχόμενον, καὶ τὴν τοῦ πάσχοντος ψυχρότητα. Ἔτι δὲ ἀληθοῦς οὔσης τῆς τοιαύτης ὑποθέσεως. οὐδέποτε τὸ ποιοῦν ὅμοιον ἑαυτῷ γεννήσει, ἐν τῷ μεταξὺ γὰρ ἀνιεμένη ἡ ἐν τῷ ποιοῦντι ποιότης ἀσθενεστέρα γίγνεται. πρόσθες ὅτι καὶ ἡ πεῖρα μαρτυρεῖ μήτε τὸ φέρον φέρεσθαι, μήτε τὸ ὑγιάζον κάμνειν, μήτε τὸ αὖξον αὔξεσθαι. διά τοι ταῦτα τῶν νεωτέρων οἱ μὲν τὸ ποιοῦν ἀντιπάσχειν φασὶ μὴ κατὰ τὴν αὐτὴν ἐναντιότητα, εἰ μὴ τὸ ποιοῦν μὴ τὴν αὐτὴν ἕξει ποιότητα ἐν πᾶσι τοῖς αὐτοῦ μέρεσι καὶ κατὰ τὸν αὐτὸν βαθμὸν, ἀλλὰ τῇ μὲν ἔσται μᾶλλον, τῇ δὲ

ἧττον

ἧττον θερμόν, ἐνδέχεσθαι γὰρ τότε λέγουσι τὸ ποιοῦν πάσχειν μὲν κατὰ τὴν αὐτὴν ἐναντιότητα, ἀλλὰ καὶ μὲν τὰ μᾶλλον ἐν αὐτῷ θερμὰ μέρη θερμαῖνον, ψυχόμενον δὲ καὶ τὰ ἧττον. ἀλλ' οὗτοι μάχονται τῇ ἀληθείᾳ καὶ τῇ πείρᾳ, ἡ μὲν γὰρ τἀναντία τοῖς ἐναντίοις μιγνύμενα κατὰ τὴν αὐτὴν ἐναντιότητα συγκεράννυσθαι διδάσκει. ἡ δὲ τἀναντίον ὑπὸ τοῦ ἐναντίου πάσχειν καὶ δρᾶν εἰς τὸ ἐναντίον βεβαιοῖ. πρόσθες ὅτι κατὰ συμβεβηκὸς πάσχειν λέγεται ὅσα μὴ κατὰ τὴν αὐτὴν ἐναντιότητα ἐν τῷ αὐτῷ μέρει πάσχει, ὡς δέδεικται Πρώτῳ Φυσικῶν, μορίῳ οδ'. Ἔτι δὲ τὸ ἐναντίον ἀεὶ πάσχειν λέγεται παρόντος τοῦ ἐναντίου. διά τοι τοῦτο καὶ ὁ Φιλόσοφος Τετάρτῳ περὶ γενέσεως ζώων κεφ. γ'. τὸ ποιοῦν καὶ πάσχειν φησὶν ὑπὸ τοῦ πάσχοντος, οἷον τὸ τέμνον ἀμβλύνεται ὑπὸ τοῦ τεμνομένου, καὶ τὸ θερμαῖνον ψύχεται ὑπὸ τοῦ θερμαινομένου, καὶ ὅλως τὸ κινοῦν ἔξω τοῦ πρώτου ἀντικινεῖται τινὰ κίνησιν, οἷον τὸ ὠθοῦν ἀντωθεῖταί πως, καὶ ἀντιθλίβεται τὸ θλῖβον, ἐνίοτε καὶ ὅλως ἔπαθε μᾶλλον ἢ ἐποίησε, καὶ ἐψύχθη μὲν τὸ θερμαῖνον, ἐθερμάνθη δὲ τὸ ψύχον. ὁτὲ μὲν οὖν οὐθὲν ποιῆσαν, ὁτὲ δὲ ἧττον, ἢ παθόν, καὶ τὰ ἑξῆς. φανερὸν δὲ μάλιστα τοῦτ' αὐτὸ οὐ μόνον ἀπὸ τῆς Φιλοσόφου λέξεως, ἀλλὰ καὶ ἀπὸ τῶν ἀντικειμένων κατὰ μίαν ἐναντιότητα, οὐχ ἧττον δὲ πασχόντων καὶ δρώντων εἰς ἄλληλα ὡς ἔξεστιν ἰδεῖν ἐπὶ τοῦ Πυρὸς καὶ Ἀέρος. ἕτεροι δὲ τὰς παθητικὰς ποιότητας οὐχ ὁμοίως οἵας τε δρᾶν τε καὶ ἀνταίρειν εἰς ἀλλήλας οἴονται, ἀλλὰ τὰς μᾶλλον μὲν ἀνθισταμένας ἧττον ὑπάρχειν ἐνεργητικάς, ἐξ ἐναντίας δὲ μᾶλλον δραστηρίους τὰς ἧττον ἀντερειδούσας, οἷον ἐπὶ τῶν ποιοτήτων μάλιστα μὲν οἴονται δραστικὴν τὴν θερμότητα, μετὰ δὲ ταύτην τὴν ψυχρότητα, ἑξῆς δὲ τὴν ὑγρότητα καὶ τελευταῖον τὴν ξηρότητα, ἐξ ἐναντίας δὲ τὴν μὲν ξηρότητά φασι μάλιστα ἀντερείδειν, καὶ τὴν τοῦ ποιοῦντος κωλύειν ἐνέργειαν. δεύτερον τὴν ὑγρότητα. τρίτον τὴν ψυχρότητα, καὶ τελευταῖον τὴν θερμότητα. Τούτων δὲ οὕτως λεγομένων προστιθέασιν ὅτι τὸ ποιοῦν ἐνεργεῖν λέγεται ὁπηνίκα ἡ τῆς ἐν αὐτῷ ποιότητος δύναμις ὑπερισχύει τῆς τοῦ πάσχοντος ἀντερείσεως, οἷον τὸ θερμὸν δρᾶν εἰς τὸ ψυχρὸν λέγουσιν ὁπηνίκα μὴ τὸ ψυχρὸν ἔχῃ κωλῦσαι τὴν τοῦ θερμοῦ ἐνέργειαν, ἀλλ' ἡττᾶται τῆς ὑπεροχῆς αὐτοῦ. πρὸς δὲ τὴν τῆς ζητήσεως ἐπίλυσιν ἀποφαίνονται ὅτι τὸ ποιοῦν ἀεὶ ἀντιπάσχει ὑπὸ τοῦ πάσχοντος κατὰ τὴν αὐτὴν ἐναντιότητα, καὶ γὰρ τὸ θερμὸν ἐνεργεῖ μὲν εἰς τὸ ψυχρὸν διὰ τὴν τῆς ἐνεργητικῆς ποιότητος ὑπερβολήν, πάσχει δὲ ὑπ' αὐτοῦ διὰ τὴν τῆς ἀντερειστικῆς δυνάμεως ἐλάττωσιν. καίτοι τίς ταῦτα ἐγκρίνει τοῖς Ἀριστοτελικοῖς δόγμασιν. οὐ γάρ που φαίνεται οὕτως ὁ Φιλόσοφος διακρίνων τὴν ἀντέρεισιν τῆς ἐνεργείας, ἀλλὰ τὰ μᾶλλον ἐνεργητικὰ καὶ μᾶλλον ἀντερειστικὰ δοκεῖ νομίζειν. Τούτων οὖν οὕτως ἀποδοκιμασθέντων.

„ Πρῶτον μὲν φανερὸν ὅτι τὰ ποιοῦντα ἀντιπάσχουσι, τρίτῳ γὰρ Φυσι-
„ κῶν, μορίῳ η. ἐπειδή φησιν ὁ Φιλόσοφος ἔνια τὰ αὐτὰ καὶ δυνάμει
„ καὶ ἐντελεχείᾳ ἐστὶν, οὐχ ἅμα δὲ, ἢ οὐ κατὰ τὸ αὐτὸ, ἀλλ' οἷον θερ-
„ μὸν μὲν δυνάμει, ψυχρὸν δὲ ἐνεργείᾳ, πολλὰ ἤδη ποιήσει καὶ πεί-
„ σεται ὑπ' ἀλλήλων. δι' ὧν ὁ Φιλόσοφος τἀναντία ὑποτίθησι ποιεῖν τε καὶ πάσχειν ὑπ' ἀλλήλων, ὃ καὶ κατωτέρω, μορίῳ ιϛ'. ἐπιβεβαιοῖ. τὰ αὐτὰ δέ φησι Πρώτῳ περὶ γενέσεως καὶ φθορᾶς, μορίῳ νγ'. καὶ πζ'. καὶ πθ'. καὶ δ'. περὶ γενέσεως ζώων κεφ. γ'. Δεύτερον ἡ ὁσημέραι πεῖρα τὸ αὐτὸ διδάσκει. ὕδωρ γὰρ θερμὸν ἐπιμεμιγμένον ψυχρῷ χλιαρὸν γίγνεται. καὶ ἡ χεὶρ ἁπτομένη πάγους ψύχεται μὲν αὐτὴ, λύει δ' ἐκεῖνο, καὶ αἱ τροφαὶ ἀλλοιοῦνται μὲν ὑπὸ τοῦ ζώου, ἀλλοιοῦσι δὲ καὶ αὗται τὸ ζῶον. ἔτι δὲ τὰ στοιχεῖα μιγνύμενα κιρνᾶται. πῶς δὲ μὴ πάσχοντα καὶ δρῶντα εἰς ἄλληλα. κείσθω δεύτερον ὅτι τὰ ποιοῦντα ἀντιπάσχει κατὰ τὴν αὐτὴν ἐναντιότητα, καὶ κατὰ τὸ αὐτὸ μέρος, καὶ καθ' αὑτό. ἀλλὰ μὴ κατὰ συμβεβηκός. ὅτι μὲν οὖν ἀντιπάσχει κατὰ τὴν αὐτὴν ἐναντιότητα δεδήλωκεν ὁ Φιλόσοφος Τετάρτῳ περὶ γενέσεως ζώων κεφ. γ'. καὶ Θεμίστιος τρίτῳ Φυσικῶν, μορίῳ η. δείκνυται δὲ καὶ λόγῳ τοιούτῳ. εἰ γὰρ τὸ θερμὸν ἐν τῇ τῶν στοιχείων μίξει οὐ ψύχεται, σώζοιτ' ἂν αὐτὸ ἄκρατον, τοῦτο δὲ μάχεται τῇ μίξει. ὅτι δὲ καὶ κατὰ τὸ αὐτὸ μέρος, φανερόν. τὸ γὰρ δυνάμει δυνατὸν ἐστὶν ἐνεργείᾳ γενέσθαι. ἔστι δὲ τὸ θερμὸν καθ' ὁτιοῦν μέρος δυνάμει ψυχρὸν, ἄρα ταύτῃ πείσεσθαι δύναται ὑπ' ἐκείνου. ἐπιβεβαιοῖ τοῦτο αὐτὸ καὶ ἡ πεῖρα. ὅλον γὰρ θερμὸν ὕδωρ χλιαρὸν γίγνεται ἐπιμεμιγμένον. προσθὲς ὅτι μὴ κατὰ τὸ αὐτὸ μέρος ἀντιπασχόντων τῶν ποιούντων, ἀναλλοίωτα μένουσι κατὰ τὴν ἐν τούτοις ὑπεροχὴν, τοῦτο δὲ τῇ μίξει πολέμιον. προσθὲς ὅτι πῦρ τε καὶ ὕδωρ εἰς ἄλληλα δρῶσι καὶ πάσχουσιν ὑπ' ἀλλήλων καθ' ὁτιοῦν αὐτῶν μόριον, εἰ γὰρ τοῖς μὲν ποιεῖ, τοῖς δὲ πάσχει, ἀποδεδόσθω δι' ἣν αἰτίαν τὰ μέν ἐστι ποιητικὰ, τὰ δὲ παθητικά. ὅτι δὲ μηδὲ κατὰ συμβεβηκὸς ὥς φασί τινες, οἷον ἐλαττοῦσθαι τὴν τοῦ πυρὸς θερμότητα ἐνεργοῦντος εἰς ἀέρα διὰ τὸ τὴν ἐν αὐτῷ ξηρότητα ὑγραίνεσθαι παρὰ τοῦ ἀέρος, ἀλλὰ καθ' αὑτὸ, δῆλον. ὁ γὰρ Ἀὴρ δρᾷ τε καὶ πάσχει ὑπὸ τοῦ Ὕδατος, οὐ μήνγε κατὰ συμβεβηκὸς ἀμφότερα γὰρ ὑγρὰ τὰ στοιχεῖα ταῦτα, ὥστε ἐπειδὴ καὶ τὰ σύμβολα τῶν στοιχείων ποιεῖ τε καὶ πάσχει οὐκ ἀληθὲς ὅτι κατὰ συμβεβηκὸς μόνον ἡ ἀντιπάθησις γίγνεται. κείσθω τρίτον ὅτι τὸ ποιοῦν πάσχει ὁπηνίκα ἐντὸς γένηται τῆς τοῦ πάσχοντος σφαίρας. καίτοι πολλῷ τῆς δυνάμεως αὐτοῦ ἡττωμένου. τοῦτο δὲ δείκνυται ῥᾳδίως ὑποτιθεμένοις ὅτι τἀναντία ἐνδέχεται ἐν τῷ αὐτῷ ὑποκειμένῳ ὑπάρχειν ἄνεσιν λαβόντα τῆς ἰδίας αὐτῶν ὑπεροχῆς, ἐπειδὴ γὰρ τὸ πάσχον πάσχει μὲν ᾗ δυνάμει ἐστὶ, δρᾷ δὲ



Ε.Υ.Δ … ΙΩΑΝΝΙΝΑ 2006

τὸ ποιοῦν ἡ ἐνεργείᾳ. τὰ δὲ ὑπὸ Σελήνην ἅπαντα ἐστὶ μὲν δυνάμει διὰ τὴν ὕλην, ἐνεργείᾳ δὲ διὰ τὸ εἶδος, ἄρα πάντα ποιήσει καὶ πείσεται ὑπ' ἀλλήλων. οὐ γὰρ δυνατόν ἐστι τὸ ἐνεργείᾳ μὴ δρᾶν, ὥσπερ καὶ τὸ δυνάμει μὴ πάσχειν. ὥστε τὰ τὴν αὐτὴν ἔχοντα ὕλην, ἐναντίαις δὲ διακεκριμένα διαφοραῖς ὁπωσδηποτοῦν ἔχει κατὰ τὰς ὑπεροχὰς, πάσχει μὲν ἡ δυνάμει ὑπὸ τοῦ ἐνεργείᾳ, ποιεῖ δὲ ἡ ἐνεργείᾳ πρὸς τὸ δυνάμει. ἡ δὲ νίκη τοῦ ὑπερέχοντος ἔσται νικῶντος μὲν τὴν τοῦ πάσχοντος ἀντέρεισιν, ἀλλ' οὐκ ἀναιροῦντος, τοῦτο δὲ μᾶλλον γενήσεται δῆλον, εἴ τις τὸ ἄκρως θερμὸν ἐγγὺς τοῦ ψυχροῦ γενόμενον ἠλαττωμένου πολὺ τοῦ ποιοῦντος μὴ ἐνεργεῖν αὐτὸ ὑπολάβῃ. τηνικαῦτα γὰρ ζητεῖται. Πότερον τὸ ψυχρὸν ἐνεργεῖ, ἢ οὔ; καὶ εἰ μὲν ἐνεργεῖ φανερὸν τὸ ζητούμενον, εἰ δὲ μὴ, ἔσται τὸ ἐν τοῖς οὖσιν εἶδος ἀνενέργητον. εἰ δέ τις φαίη ὅτι ὑπὸ τῆς ἄκρας θερμότητος ἡ ἐλάττων ἐμποδίζεται ψυχρότης, οὐκ ὀρθῶς ἐρεῖ, οὐ γὰρ ἐν ἀκαρεῖ τὸ ψυχρὸν ὑπὸ τοῦ θερμοῦ φθείρεται, ἀλλ' ἐν χρόνῳ, ὥστε καταδράσει πάσχον ἕως ἂν φθαρήσεται.

Ἐπιλυσώμεθα δὲ τοὺς ἀντικειμένους λόγους, ἐλέγετο δὲ πρῶτον τὴν αὐτὴν ὕλην ἔχειν τὰ οὐράνια οὐ μὴν πάσχει ὑπ' ἀλλήλων ἀλλά γε οὐδὲ ποιεῖν. οὐ γὰρ ἔχει ἐναντίωσιν, οὐδὲ ἀρχὴ μεταβολῆς ἡ ἐν αὐτοῖς ὕλη. ἔτι δὲ ἡ ἐν οὐρανοῖς ὕλη οὐ συνωνύμως ἐστὶ μία, ἀλλ' ὡς τὰ ἀφ' ἑνός. ἐλέγετο δεύτερον ὅτι τό,τε ποιοῦν καὶ τὸ μέσον ταῖς ἐναντίαις κινήσεται κινήσεσι. πρὸς τοῦτο δὲ φαμὲν ὅτι οὐκ ἄτοπον τὸ αὐτὸ ψύχεσθαι καὶ θερμαίνεσθαι κατὰ τὰς ἀνειμένας ποιότητας. εἰ γὰρ δυνατόν ἐστι τὸ αὐτὸ ψυχρὸν εἶναι καὶ θερμόν. τί ἄτοπον ἔσται τὸ αὐτὸ θερμαίνεσθαι καὶ ψύχεσθαι ὑπ' ἄλλου, καὶ ἄλλου; πρὸς δὲ τὸ Τελευταῖον ἀπαντῶμεν, ὅτι οὐκ ἀληθὲς ἐλαττοῦσθαι τὸ ποιοῦν καὶ μὴ γεννᾶν ὅμοιον ἑαυτῷ. αὐτὸ γὰρ τό,τε πάσχον νικᾷ, καὶ τὴν ἐν αὐτῷ τοῦ πάσχοντος ἐνέργειαν πολλῷ μᾶλλον ἀμαυροῖ. ῥᾳδία δὲ καὶ τῶν λοιπῶν ἡ λύσις τοῖσγε σκεπτομένοις ἀκριβῶς τὰ ῥηθέντα, καὶ ταῦτα μὲν ἅλις περὶ ἀντερείσεως, καὶ ὅλως περί τε ἁφῆς καὶ ποιεῖν καὶ πάσχειν.

## ΚΕΦΑΛΑΙΟΝ, ΔΕΚΑΤΟΝ.

### Ὅτι ἐστι μίξις, καὶ διατὶ, καὶ ποία μικτὰ τῶν ὄντων.

Ἐπειδὴ δὲ περὶ ἁφῆς καὶ τοῦ ποιεῖν καὶ πάσχειν εἴρηται, καὶ περὶ μίξεως λοιπόν ἐστι θεωρητέον κατὰ τὸν τρόπον τῆς μεθόδου, ἥπερ ἐχρησάμεθα ἀνωτέρω, πρότερον δηλαδὴ τὰς τῶν παλαιοτέρων ἀνακινήσασι δόξας, τριῶν γὰρ ὄντων τῶν ἐξ ἀρχῆς προτεθέντων τὸ τρίτον ἦν ἡ μίξις, περὶ δὲ ταύτης πέμπτην ταῦτα ζητητέον. Πρῶτον πότερον ἔστι μίξις. Δεύτερον τί ἐστιν. Τρίτον τί τὸ μικτὸν, καὶ τίνα τῶν ὄντων οἷά τέ ἐστι μίγνυσθαι, καὶ τίνα τρόπον. σκεψώμεθα δὲ πρῶτον πότερον ἐστὶ μίξις, ἢ τοῦτο ψεῦδος. καθάπερ γάρ τινες λέγουσιν ἀδύνατον μιχθῆναι τι ἕτερον ἑτέρῳ, ἢ γὰρ τὰ μιχθέντα μὴ ἀλλοιοῦται καὶ σώζεται τὰ αὐτὰ, καὶ τότε μὲν οὐ μεμίχθαι φανερόν. οὐ γὰρ νῦν μᾶλλον ἢ πρότερον μέμικται ὁμοίως ἔχοντα. εἰ δὲ θάτερον ἐφθάρη τῶν μιχθέντων, τὸ δὲ ἕτερον οὐδαμῶς, οὐ μεμίχθαι ταῦτα λέγεται, ἀλλὰ τὸ μὲν μὴ φθαρὲν εἶναι τὸ δὲ φθαρὲν οὐκ εἶναι τῶν μιχθέντων, εἰ δὲ ἀμφότερα συνελθόντα τὰ μιγνύμενα ἐφθάρη, ἑκάτερον τῶν μιχθέντων ὅλως οὐκ ἔστιν, ὥστε μὴ μεμίχθαι. οἷς ἔνιοί φασι μὴ μίξιν εἶναι. Εἰς ἐπίλυσιν δὲ τοῦ λόγου τούτου ἀνάγκη ἐστὶ πρότερον διορίσαι τί διαφέρει μίξις γενέσεως καὶ φθορᾶς, καὶ τί τὸ μικτὸν τοῦ γεννητοῦ καὶ φθαρτοῦ, τοῦτο γὰρ ὁ λόγος ζητεῖν ἔοικε βιάζων ἡμᾶς εἰς τὴν γένεσιν ὑπαγαγεῖν τὴν μίξιν, εἰ τοίνυν ἔστι μίξις δῆλον ἐστὶ ὡς δεῖ ταύτην διαφέρειν τῆς γενέσεως, τούτων γὰρ ὄντων φανερῶν τὰ διαπορηθέντα λύοιτ' ἄν, ἵνα δὲ ὡς διαφέρει γενέσεως καὶ τῆς φθορᾶς ἡ μίξις φανερὸν γένηται. δεῖ εἰδέναι ὅτι τῶν ξύλων δηλαδὴ εἰς πῦρ μεταβαλλομένων, καὶ καιομένων, οὔτε τὰ ξύλα τῷ πυρὶ μεμίχθαι φαμὲν, οὐδὲ αὐτὰ τοῖς αὐτοῖς μορίοις, οὔτε τῷ πυρὶ, ἀλλὰ τὴν μὲν ὕλην καίεσθαι καὶ φθείρεσθαι γίγνεσθαι δὲ πῦρ, ὅθεν φανερὸν ὅτι οὐ μίγνυσθαι λέγεται, ὧν θάτερον μὲν φθείρεται, θάτερον δὲ γίνεται, διὸ δὴ καὶ τῆς αὐξήσεως ἡ μίξις διαφέρει, τὸν αὐτὸν γὰρ τρόπον ὥσπερ ἐπὶ τῆς γενέσεως καὶ φθορᾶς μεταβάλλει μὲν ἡ τροφὴ, αὔξεται δὲ τὸ σῶμα. ἀλλ' οὐδὲ ὅτε ἀμφότερα σωζόμενα ὁρᾶται, καθὸ καὶ ἀλλοιώσεως ἡ μίξις διενήνοχεν, ἐν γὰρ ταῖς κινήσεσι ταῖς κατὰ τὸ ποιὸν τὰ πάθη ὅλως καὶ αἱ ἕξεις οὐ μεμίχθαι λέγεται τοῖς πράγμασιν, ὥσπερ οὐδὲ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Κ. Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Α.Τ.Π.Ε.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὸ σχῆμα τοῦ κηροῦ μιγνύμενον σχηματίζειν τὸν ὄγκον, οὐδὲ τὸ σῶμα καὶ τὸ λευκόν. σώζεται γὰρ ὁ κηρὸς καὶ τὸ σχῆμα, καὶ τὸ λευκὸν καὶ τὸ σῶμα τὰ αὐτά. τὸ μὲν ὡς εἶδος ὄν, τὸ δὲ ὡς ὑποκείμενον, καθάπαξ δὲ οὐδὲ τὰ ἐν ὑποκειμένῳ ὄντα τοῦ αὐτοῦ μιχθῆναι ἐνδέχεται, οἷον τὸ λευκὸν καὶ τὴν ἐπιστήμην. οὐ μόνον ὅτι τὰ πλείω μὴ ποιητικὰ καὶ παθητικὰ ὑπ' ἀλλήλων, καὶ ὅτι ἄμφω σώζεται, ἀλλ' ὅτι τούτων οὐδέν ἐστι χωριστόν, οὐ γὰρ ἅπαν ἐσόμενον ἅπαντι μίγνυσθαι λέγεται, ἀλλ' ὁπηνίκα τῶν μιχθέντων ἑκάτερον ὑπάρχει τι χωριστόν. τῶν δὲ παθῶν οὐδέν ἐστι χωριστόν, ὅθεν φανερὸν ὅτι οὐ καλῶς τοῦτο λέγουσιν οἱ πάντα ποτὲ ὁμοῦ εἶναι καὶ μεμίχθαι φάσκοντες. ὥσπερ Ἀναξαγόρας τά τε πάθη καὶ τὰς οὐσίας ἐν τῷ χάει ἐνόμιζε μεμίχθαι, ἐπειδὴ δὲ οὐκ ἐνδέχεται κατά τινα τῶν εἰρημένων τρόπων γίνεσθαι τὴν μίξιν ἐντεῦθεν πάλιν τὴν ἐπίλυσιν τοῦ διαπορηθέντος θηρεύσωμεν. Ἐπειδὴ γὰρ τῶν ὄντων τὰ μέν ἐστι δυνάμει, τὰ δὲ ἐνεργείᾳ, φαμὲν τὰ μιχθέντα εἶναί πως, καὶ μὴ εἶναι, οὐκ εἰσὶ μὲν γὰρ ὅτι τὸ ἀποτελεσθὲν ἐνεργείᾳ οὐδέτερόν ἐστι τῶν μιχθέντων, εἰσὶ δὲ ὅτι τὸ ἀποτελεσθὲν δυνάμει ἐστὶν ἑκάτερον, ἅπερ ἦσαν πρὶν μιχθῆναι. ὅθεν φανερὸν ὅτι πῆ μὲν σώζεται τὰ μιχθέντα, πῆ δὲ οὔ, καὶ λέλυνται αἱ ἀπορίαι, αἵτινες ἐβούλοντο μὴ εἶναι μίξιν. οὔτε γὰρ σωζομένων τῶν μιγνυμένων ἐνδέχεσθαι εἶναι. οὔτε μή, σωζομένων ἐλέγετο. ἡ δὲ λύσις δείκνυσιν ὅτι καὶ σώζεται δυνάμει, καὶ μὴ σώζεται ἐνεργείᾳ, φανερὸν γὰρ τὸ λεγόμενον, εἴτις σκέπτοιτο ὅτι τὰ μιγνύμενα πρότερόν τε καθ' ἑαυτὰ προϋφέστηκε, καὶ πάλιν δύνανται χωρίζεσθαι, ὥστε οὐ διαμένουσιν ἐνεργείᾳ ὥσπερ τὸ σῶμα καὶ τὸ λευκόν. ἕτερον γάρ τι γίγνεται ἐξ αὐτῶν ἀλλασσομένων, οὔτε πάλιν φθείρεται οὔτε θάτερον οὔτε ἄμφω. δύνανται γὰρ χωρισθῆναι, καὶ τὸ οἰκεῖον ἀπολαβεῖν τέλειον εἶδος, ἀλλὰ σώζεται μὲν ἐν τῷ κράμματι δυνάμει τὰ ἐξ ὧν, καίτοι μὴ ἐνεργείᾳ τὰ αὐτά, δύναται γὰρ εἰλικρινῆ γίνεσθαι πάλιν, καίτοι κεκολασμένα ὄντα ἐνεργείᾳ. ἔτι δὲ δῆλον ὡς διαφέρει γενέσεως καὶ ἀλλοιώσεως ἡ μίξις, καὶ γενέσεως μὲν ὡς σωζομένων τῶν μιχθέντων, ὥστε καὶ δύνασθαι χωρισθῆναι, ἀλλοιώσεως δὲ ὡς μὴ σωζομένων. ἀλλὰ ταῦτα μὲν ἀφείσθω, δι' ὧν γὰρ εἰρήσεται κατωτέρω μᾶλλον ἔσται δῆλα. ἐπειδὴ δὲ διώρισται ὅτι ἐστὶ μίξις καὶ τίσι διαφέρει τῶν λοιπῶν μεταβολῶν τὸ συνεχὲς τούτοις ἀπόρημα διοριστέον, καὶ ζητεῖν εἰκός, Πότερον ἡ μίξις κατὰ τὴν αἴσθησιν μόνον ἐστίν, ἢ οὔ; ἐκ τούτου γὰρ φανερὸν ἔσται καὶ πῶς ἡ μίξις γίνεται. ἔστι δὲ μίγνυσθαι πρὸς τὴν αἴσθησιν ὅταν τὰ μιγνύμενα εἰς μικρὰ κατακερματισθέντα ἀλλήλοις παρατεθῇ, ὥστε μὴ τὴν αἴσθησιν ἔχειν διὰ τὴν τῶν παρακειμένων σμικρότητα ἀντιλαμβάνεσθαι τούτων. ἀλλὰ δοκεῖν μίξιν καὶ κρᾶσιν εἶναι, ὥσπερ εἴτις ἐκ πυρῶν

σεμι-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σεμίδαλιν λεπτὴν κριθῆς ἀλεύρῳ μίξει, ὥστε τοιαύτην ἐν τούτοις παράθεσιν γίνεσθαι οὑτινοσοῦν μορίου παρ' ὁτιοῦν τεθέντος, ὥστε διὰ σμικρότητα μὴ ὡς κεχωρισμένων τῶν μορίων ἀντιλαμβάνεσθαι τὴν αἴσθησιν, εἷς μὲν οὖν οὗτος ὁ τρόπος τῆς μίξεως πρὸς τὴν αἴσθησιν λεγόμενος, ὡς ἀνεπαισθήτων γιγνομένων τῇ σμικρότητι τῶν παρατιθεμένων. ἕτερος δὲ ὅτε ἁπλῶς τὰ τῶν μιχθέντων μόρια ὁτιοῦν ἐστι παρ' ὁτιοῦν οὐ κατὰ τὴν παράθεσιν μόνον, ἀλλὰ καθ' ὁτιοῦν ἐν αὐτοῖς μέρος, ἀμφότεροι δὲ οἱ ῥηθέντες τρόποι ἐπισφαλεῖς, καὶ ὁ μὲν πρῶτος ῥαδίως ἀποκρούεται, εἰ γὰρ ἐστι πᾶν σῶμα διαιρετὸν ἐπ' ἄπειρον, εἰ δὲ καὶ σῶμα σώματι μικτόν ἐστιν, ἔδει ἂν ὁμοιομερὲς ὁτιοῦν τοῦ μιγνυμένου γίγνεσθαι μέρος οὑτινοσοῦν παρ' ὁτιοῦν τιθεμένου, εἰ δὲ ἐστι σύνθεσις καὶ παράθεσις τῶν μιχθέντων φανερὸν ὅτι οὐχ ὁτιοῦν τοῦ μιγνυμένου ὁμοιομερὲς γίγνεται μέρος, ἐν γὰρ τῇ παραθέσει οὐχ ὁτιοῦν ᾡτινιοῦν παράκειται ἁπλῶς, ἀλλὰ τὰ σμικρὰ τοῖς σμικροῖς λανθάνοντα μὲν τὴν αἴσθησιν, μένοντα δὲ ὅμως εἰλικρινῆ. ἐπεὶ δὲ οὐκ ἔστιν εἰς τὰ ἐλάχιστα διαιρεθῆναι τὸ σῶμα, ἀλλ' ἔστι διαιρετὸν ἐπ' ἄπειρον, οὔτε σύνθεσις ταὐτόν ἐστι καὶ μίξις, ἀλλ' ἕτερον, δῆλον ὡς οὔτε κατὰ μικρὰ σωζόμενα δεῖ τὰ μιγνύμενα φάναι μεμίχθαι. σύνθεσις γὰρ ἔσται καὶ οὐ κρᾶσις οὐδὲ μίξις, οὐδὲ ἕξει τὸν αὐτὸν λόγον τῷ ὅλῳ τὸ μόριον. διαιρετοῦ γὰρ ὄντος τοῦ σώματος ἐπ' ἄπειρον συμβαίνει μίξιν μὲν εἶναι ὁμοιομεροῦς οὑτινοσοῦν γιγνομένου μέρους διὰ τὸ ὁτιοῦν ἁπλῶς τίθεσθαι παρ' ὁτιοῦν, εἰς δ' ἐλάχιστα διαιρημένου τοῦ σώματος καὶ παρακειμένων τῶν μορίων ἀλλήλοις, σύνθεσις μὲν γίγνεται, οὐ μήν γε μίξις. ἕτερον γὰρ μίξις καὶ σύνθεσις, ἡ μὲν τελουμένη τῇ τῶν μερῶν παραθέσει ἀνομοιομερῶν σωζομένων, ἡ δὲ παράθεσίν τε καὶ ὁμοιομέρειαν τῶν ἑνουμένων ζητεῖ μορίων, φαμὲν γὰρ εἴπερ δεῖ μεμίχθαι τι τὸ μιχθὲν ὁμοιομερὲς εἶναι, καὶ ὥσπερ τοῦ ὕδατος τὸ μέρος ὕδωρ, οὕτω καὶ τοῦ κραθέντος τὸ μέρος τὸν αὐτὸν λόγον σῴζει τῷ ὅλῳ. ἂν δ' ᾖ κατὰ μικρὰ σύνθεσις ἡ μίξις, οὐδὲν συμβήσεται τούτων, δηλαδὴ τὸ ὁμοιομερὲς εἶναι ἕκαστον τοῦ κραθέντος μέρους, ἀλλὰ μόνον τὰ μεμιγμένα κατὰ παράθεσιν πρὸς τὴν αἴσθησιν μέμικται, καὶ τὸ αὐτὸ μεμιγμένον ἔσται καὶ μὴ μεμιγμένον, τῷ μὲν γὰρ μὴ ὀξύτι βλέποντι μεμιγμένον, τῷ δὲ λυγκεῖ μὴ μεμιγμένον, ὅθεν τοῖς οὕτω λέγουσι κατὰ παράθεσιν τῶν ἐλαχίστων, πλεῖω τὰ ἄτοπα παρακολουθεῖ. Πρῶτον μὲν εἰς ἐλάχιστα διαιρεῖσθαι τὸ συνεχές, ὡς ἅτε δὴ ἐκ τῆς τῶν ἐλαχίστων παραθέσεως γιγνομένου τοῦ μικτοῦ. Δεύτερον δὲ μὴ ὁμοιομερῆ τὰ μικτὰ εἶναι. καὶ Τρίτον μὴ τὸ μικτὸν εἶναι καθ' ἑαυτὸν τοιοῦτον, ἀλλὰ τῷ μὲν φαίνεσθαι μικτόν, τῷ δὲ μή. ὁ δὲ δεύτερος τρόπος ὁμοίως ἀποδοκιμάζεται, οὐ γὰρ ἐνδέχεται κατὰ τὴν ἐπ' ἄπειρον

διαι-

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΤΠΣ κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

διαίρεσιν ὁτιοῦν παρ' ὁτιοῦν μέρος τίθεσθαι, ἀδύνατον γὰρ οὕτω διῃρημένον εἶναι τὸ διαιρετὸν ἐπ' ἄπειρον, ὥστε τὰ ἐν αὐτῷ μέρη ἐνεργείᾳ διαιρεῖσθαι, καὶ πακεῖσθαι ἀλλήλοις. τούτων δὲ οὕτως ἀνασκευασθέντων ἢ οὐκ ἔστι μίξις, ἢ λεκτέον πῶς τοῦτο ἐνδέχεται γίγνεσθαι πάλιν, τοιγαροῦν ἀναμεμνῆσθαι ἀνάγκη εἰς τὴν τῆς μίξεως δήλωσιν, ὅτι τῶν ὄντων τὰ μὲν ποιητικά, τὰ δὲ ὑπὸ τούτων παθητικά εἰσι, καὶ τὰ μὲν ποιητικὰ καὶ παθητικὰ ὑπ' ἀλλήλων ἐστὶν ὅσων ἡ αὐτὴ ὕλη, τὰ δὲ ποιεῖ μὲν ἀλλ' οὐ πάσχει ὅσων μὴ ἡ αὐτὴ ὕλη, φανερὸν οὖν ὅτι τῶν τοιούτων οὐκ ἔστι μίξις, ὅθεν οὐδ' ἡ ἰατρικὴ ποιεῖ ὑγείαν μιγνυμένη τοῖς σώμασιν, οὐ γὰρ ἀντιστρόφως ἡ ὑγεία ποιεῖ εἰς τὴν ἰατρικήν, ἡ μὲν γὰρ ἰατρικὴ ἐν τῇ ψυχῇ ἐστιν, ἡ δὲ ὑγεία ἐν τοῖς σώμασι. τῶν ποιητικῶν καὶ παθητικῶν ὑπ' ἀλλήλων αὖθις οὐ ποιεῖν μίξιν ὅσα εὐδιαίρετα ὄντα καὶ εὐόριστα οἷόν εἰσι τὰ ὑγρά, πολλὰ μὲν ὀλίγοις καὶ μεγάλα μικροῖς συντίθεται, τούτων γὰρ θάτερον μεταβάλλον εἰς τὸ κρατοῦν αὔξησιν ποιεῖ τοῦ κρατοῦντος, ἀλλ' οὐ μίξιν, οἷον σταλαγμὸς οἴνου εὐδιαίρετος ὤν, καὶ ὀλίγος, εἰ μυρίοις χοεῦσιν ὕδατος ἐμβάλλεται οὐ μίγνυται. δεῖ γὰρ τοῦ μιχθέντος εἶδος σώζεσθαι, τὸ δὲ τοῦ οἴνου λύεται εἶδος, καὶ μεταβάλλει εἰς τὸ πᾶν ὕδωρ. μίξις τοιγαροῦν γίγνεται ὅταν τὰ ποιητικὰ καὶ παθητικὰ ἰσάζει πως ταῖς δυνάμεσιν, οὐ γὰρ δὴ πολύ τι ἕτερον ὑπερβάλλει, ἀλλὰ κατά τι μόνον κρατεῖ, ὡς ἰσάζεσθαί πως ταῖς δυνάμεσι, τότε κολάζεται μὲν ἡ ἐν ἑκατέρῳ ὑπερβολή, καὶ μεταβάλλει εἰς τὸ κρατοῦν ἐκ τῆς αὐτοῦ φύσεως, οὐ μὴν φθείρεται, οὐδὲ γίγνεται θάτερον ἐξ ἑτέρου, ἀλλὰ μεταξύ, καὶ κοινὸν ἕτερον, ἐνεργείᾳ μὲν οὐδέτερον, δυνάμει δὲ ὡς ἔφημεν ἑκάτερον, φανερὸν οὖν ὅτι ταῦτα μίγνυται τῶν ποιούντων ὅσα ἐναντίωσιν ἔχει, ταῦτα γὰρ ὑπ' ἀλλήλων ὄντα παθητικὰ κολάζεσθαι δύνανται κατὰ τὰς ὑπεροχὰς καὶ ἐξισάζοντα ταῖς δυνάμεσι διαμένειν ἐν τῷ αὐτῷ μίγματι. ἐκ δὲ τῶν λεγομένων τοῖς κατὰ παράθεσιν ποιοῦσι τὴν μίξιν τοῦτο μόνον προσληψώμεθα, ὅτι τῶν ποιητικῶν καὶ παθητικῶν ὅσα εὐκολώτερον εἰς μικρὰ διαιρεῖται, μικρὰ μικροῖς παρατιθέμενα μίγνυται μᾶλλον, ῥᾷον γὰρ καὶ θᾶττον ἄλληλα μεθίστησι, τοῦ δὲ πολὺ ὑπὸ πολλοῦ χρονίως τοῦτο δρᾷ, διὸ τῶν διαιρετῶν καὶ παθητικῶν τὰ εὐόριστα, οἷον τὰ ὑγρὰ μικτὰ μᾶλλον, ἐκεῖνα δὲ τῶν ὑγρῶν τῶν διαιρετῶν εὐόριστα λέγεται ὅσα μὴ γλίσχρα ἦ, τὰ γὰρ γλίσχρα μείζω μὲν καὶ πλείω ποιεῖ τὸν ὄγκον, δυσδιαχώριστα δὲ ὄντα οὐ παρολισθαίνει παντὶ μορίῳ, οὐδὲ μίγνυται. ὁμοίως δὲ ὅταν θάτερον μόνον ἢ παθικόν, θάτερον δὲ μή, ἢ τὸ μὲν σφόδρα τὸ δὲ πάμπαν ἠρέμα, τότε ἢ οὐδὲν γίγνεται μικτὸν ἐξ ἀμφοῖν, ἢ μικρόν τι ὥσπερ συμβαίνει ἐπὶ τὸν καττίτερον. καὶ τὸν χαλκόν. ὁ μὲν γὰρ καττίτερος σφόδρα παθητικὸς ὢν ἐξατμίζεται ἐν

τῇ πρὸς τὸν χαλκὸν μίξει, καὶ μόνον τὴν ἐπιφάνειαν αὐτοῦ χρώννυσιν, ἐν τοῖς τοιούτοις γὰρ τῶν ὄντων ἀμυδρά τίς ἐστι καὶ ἀσαφὴς ἡ μίξις, ὥσπερ γὰρ ἐπὶ τῶν διαλεγομένων οἱ ψελλίζοντες ἀμφιβόλως προφέρουσι τὰ στοιχεῖα, οὕτω τοι καὶ τῶν ὄντων ἔνια ἐπ' ἀμφοτερίζοντα φαίνεταί πως καὶ ἠρέμα μικτὰ, τρόπον τινὰ μιγνύμενα, τρόπον δέ τινα μή. Ἔτι δ' ἐπὶ τούτων θάτερον μὲν ὡς δεκτικόν ἐστι, θάτερον δὲ ὡς εἶδος, ὥσπερ συμβαίνει καὶ ἐν τῇ πρὸς τὸν χαλκὸν τοῦ καττιτέρου μίξει, ὁ γὰρ καττίτερος ὡς εἶδός τι καὶ πάθος γίγνεται τοῦ χαλκοῦ, αὐτὸς γὰρ τούτου σχεδὸν ἀφανίζεται, καὶ μιχθεὶς ἄπεισι χρωματίσας μόνον. ταὐτὸ δὲ τοῦτο καὶ ἐφ' ἑτέρων συμβαίνει, φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι ἔστι μίξις, καὶ τί ἐστι, καὶ διὰ τί, καὶ ποῖα μικτὰ τῶν ὄντων. ἵνα δὲ ἐκ τῶν εἰρημένων καὶ ὁ τῆς μίξεως ὁρισμὸς δῆλος γένηται ἀναλαβόντες εἴπωμεν, ὅτι ἐπειδήπερ ἔνια τῶν ὄντων παθητικά ἐστιν ὑπ' ἀλλήλων, καὶ εὐόριστα, καὶ εὐδιαίρετα, ταῦτα ὁπηνίκα μιγνύμενα οὔτε φθείρεται, οὔτε ἁπλῶς τὰ αὐτὰ διαμένει, ὥστε μόνον σύνθεσιν εἶναι, καὶ μίξιν πρὸς τὴν αἴσθησιν, ἀλλὰ μίγνυται πρὸς ὁμώνυμον, οἷον ἰσάζοντα πῶς, τηνικαῦτα εἰκότως λέγεται μεμίχθαι, ὥστε μίξις ἐστὶν ἡ τῶν ἀλλοιωθέντων μικτῶν ἕνωσις.

## Προθεωρία περὶ μίξεως, ἐν ᾗ ὅ,τε σκοπὸς προβάλλεται, καὶ ἔνια τῶν ὀνομάτων ἀναπτύσσεται.

ΘΑυμαστὴ μὲν πάντα ἄλλα ἡ Φύσις, καὶ ὅτι ὀλίγοις τισὶ στοιχείοις τὴν τῶν ὄντων ἁπάντων ἐξέφηνε ποικιλίαν, καὶ γὰρ τὰς ἐν τοῖς ἁπλοῖς σώμασιν ὑπερβολὰς τῇ πρὸς ἄλληλα μάχῃ κολάζουσα μυρία τὰ μεταξὺ κατεργάζεται, ὥστε παντοίοις εἴδεσι τὸ θνητὸν τοῦτο σῶμα καλλωπίζεσθαι, καὶ οἷον πρὸς τὴν τοῦ αἰθέρος ἁμιλλᾶσθαι διαμονὴν τῇ ἀλληλοδιαδόχῳ καὶ ἀδιαλείπτῳ τῶν μιγνυμένων ἀναζωνήσει, διὸ δὴ τοῖς Φυσιολογοῦσιν οὐδὲν ἧττον ἀνάγκη περὶ μίξεως εἰπεῖν. Πάλιν οὖν ἀπὸ τῆς τοῦ Φιλοσόφου Λέξεως τὴν φλέβα τῆς διδασκαλίας, ἀναστομοῦντες σκεψώμεθα τέτταρα ταῦτα, εἰ ἔστι, καὶ τί ἐστι μίξις, καὶ πῶς ἐστι, καὶ ὁποῖά τις ἐστιν, δεῖ δὲ πρώτως ἔνια τῶν ὀνομάτων ἐκθέσθαι ἃ γειτνιῶντα τῇ μίξει κατὰ τὴν σημασίαν συμπτύξαι δύναται τὸν ταύτης λόγον, καὶ σκότος σκεδάσαι τοῖς λεγομένοις, ἔστι δὲ ταῦτα, σύνθεσις, μίξις, κράσις, καὶ παράθεσις. ἡ μὲν οὖν σύνθεσις κοινότερον μὲν εἰλημμένη τὴν τιναοῦν ἕνωσιν σημαίνει, εἴτε κατὰ μίξιν, εἴτε κατὰ παράθεσιν, εἴτε κατὰ ἄλλον τινὰ τρόπον, καθ' ἣν σημασίαν ἡ ἐντελέχεια τῷ δυνάμει ὄντι, καὶ τῇ ὕλῃ τὸ εἶδος συντίθεσθαι λέγεται. Ἔτι δὲ

καὶ

Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

καὶ τέταρτον ποιότητες συντιθέναι τὸ μικτοῦ εἶδος, τότε ὁμοιομερῆ τὸ ὅλον, καὶ τὰ ὀργανικὰ τὸ τοῦ ζῶντος σῶμα, καὶ τὰ ἁπλᾶ στοιχεῖα τὸ πᾶν. Ἔτι δὲ καὶ τὰ γράμματα τὰς συλλαβάς, ξύλα τε καὶ λίθοι οἰκίαν, καὶ τὰ τοιαῦτα· τούτων γὰρ ἁπάντων ἡ ἕνωσις σύνθεσις ὀνομάζεσθαι φιλεῖ. ἰδιαίτερον δὲ λαμβανομένη ἡ σύνθεσις ἀντιδιαστέλλεται τῆς μίξεως, ἐν μὲν γὰρ τῇ συνθέσει σώζεται τὰ ἐξ ὧν, εἴτε ἑτέραν ἀποτελεῖ φύσιν ὡς ἡ ὕλη καὶ τὸ εἶδος συντιθέμενα τὸ σύνθετον ἀπεργάζονται, εἴτε μή, οἷον ὁπηνίκα κριθῶν ἄλευρον ἀλεύρῳ πυρῶν ἐπιμίξει τις, τὴν δὲ διάκρισιν ταύτην καὶ ὁ Φιλόσοφος αἰνίττεται μορίῳ „ πδ'. τοῦ πρώτου περὶ γενέσεως καὶ φθορᾶς τῶν ποιητικῶν καὶ παθη- „ τικῶν εἰπὼν ὅσα εὐδιαίρετα πολλὰ μὲν ὀλίγοις, καὶ μεγάλα μικροῖς συντιθέμενα οὐ ποιεῖ μίξιν. Ἔτι δὲ μορίῳ γ'. ὅτε σύνθεσίν φησιν εἶναι τὴν μίξιν αὐτῶν, ὡς ἐν μὲν τῇ συνθέσει σωζομένων τῶν αὐτῶν, ἐν δὲ τῇ μίξει μηδαμῶς ὡς εἶχε πρότερον, διά τοι τοῦτο καὶ Ἀλέξανδρος ἐν τῷ περὶ μίξεως, τῆς μίξεως τὴν σύνθεσιν διαστέλλων σύνθεσιν μὲν ἐνδέχεται εἶναί φησι καὶ τῶν ὁμοίων, μίξις δὲ τῶν ἀνομοίων ἀεί, τὸ δὲ τῆς μίξεως ὄνομα τριττὴν ἔσχηκε σημασίαν, κοινότατον μὲν γὰρ τὴν τυχοῦσαν τῶν ἀνομοίων ἕνωσιν μίξιν φαμέν· τούς τε γὰρ στρατοὺς μίγνυσθαι φαμὲν συμβάλλοντας ἀλλήλοις, καὶ κριθὰς κέγχροις. καί τοι μηδεμιᾶς γιγνομένης τῶν μισγομένων ἀλλοιώσεως, ταύτην δὲ τὴν μίξιν ὁ Φιλόσοφος πρὸς αἴσθησιν εἴωθεν ἀποκαλεῖν, καθάπερ ἐν τῷ περὶ αἰσθήσεως καὶ αἰσθητοῦ δῆλον. ἰδιαίτερον δὲ μίξιν φαμὲν τὴν τῶν μιγνυμένων παράθεσιν, μετὰ τῆς τούτων ἀλλοιώσεως, καί τοι μηδενὸς εἴδους ἀναφάντος ἐκ μίξεως, καθάπερ μίγνυσθαι τὰ φάρμακα φαμέν, καὶ ὕδωρ οἴνῳ, ἰδιαίτατον δὲ μίξις ἐστὶ τῶν μικτῶν ἀλλοιωθέντων, ἀλλ' οὐ φθαρέντων ἕνωσις μὴ πρὸς αἴσθησιν ὡς αἱ λοιπαί. ἀλλὰ τῇ ἀληθείᾳ τοιαύτη τις οὖσα, ἐκ ταύτης γὰρ τῆς μίξεως τὸ τοῦ μικτοῦ εἶδος ἀνακύπτει, καὶ ἡ κρᾶσις αὐτοῦ, περὶ ἧς ἡμῖν ὁ λόγος πρόκειται. κρᾶσις δέ ἐστιν αὐτὸ τὸ τοῦ μικτοῦ εἶδος ἐκ τῆς ὑπ' ἀλλήλων τῶν στοιχείων κολάσεως ἀναφυομένη, ὁπηνίκα γὰρ τὰ ἐν τῷ μικτῷ θερμὰ ψυχρὰ γίνηται, καὶ τὰ ὑγρὰ ξηρὰ τῶν ὑπεροχῶν ἀνειμένων συμφυές τι σύγκραμα, γίνεται, οὗ τὸ εἶδος κρᾶσις λέγεται παρὰ τῶν σοφωτέρων.



Ε.Υ.Δ. της ... ΙΩΑΝΝΙΝΑ 2006